## Συναξάριον

**Τ**ῇ ΙΖ΄ τοῦ αὐτοῦ μηνός, μνήμη τοῦ Ἁγίου Νέου Ἱερομάρτυρος Παρθενίου, τούπικλὴν Παγκώστα, τοῦ Πατμίου καὶ κτίτορος τῆς ἐν τῇ νήσῳ Μονῆς τῆς Ζωοδόχου Πηγῆς.

*Χριστοῦ ὁμολογῶν, Παρθένιε, κλῆσιν,*
*Εὐψύχως ἄρτι ἤθλησας, Πάτμου γέρας.*

**Ο**ὗτος, ὁ καὶ καθηγούμενος χρηματίσας τῆς Μονῆς τοῦ Θεολόγου ἐν Πάτμῳ, γόνος ἦν ἐπιφανοῦς οἰκογενείας τῆς ἱερᾶς νήσου. Πλοίαρχος ὢν ἐμπορικῶν πλοίων, πρόσκαιρον πλοῦτον συνέλεξεν ἐκ τῶν πολυετῶν αὐτοῦ ταξιδίων ἐν τῇ Εὐρώπῃ καὶ δὴ ἐν τῇ Ὀλλανδίᾳ. Βαρυνθεὶς ὅμως τὴν κοσμικὴν τύρβην καὶ ποθήσας ἄῤῥευστον συλλέξαι πλοῦτον, τὸν εἰς αἰῶνας διαμένοντα, κατετάγη εἰς τὴν μοναστικὴν τοῦ Θεολόγου ἀδελφότητα τῆς νήσου, ἧς καὶ ποδηγέτης ἀπλανέστατος ἐξελέγη κοινῇ γνώμῃ καὶ ψήφῳ τῶν μελῶν αὐτῆς. Τὸν πλοῦτον αὐτοῦ ἅπαντα διέθεσεν, διὰ τὴν δόμησιν Μονῆς ἐν Πάτμῳ τῇ Ζωοδόχῳ Πηγῇ, ἣν περικαλλεστάτην ἀνέδειξε μοναζουσῶν μάνδραν.

Προσορμισθείς ποτε ὁ αὐτοκρατορικὸς τῶν μιαρῶν τῆς Ἄγαρ ἐκγόνων εἰς Πάτμον στόλος, παρετήρησεν ὁ αὐτοῦ Ναύαρχος τὸ μεγαλοπρεπὲς κτίριον τῆς Μονῆς, μετὰ τῶν αὐτῆς ἐπάλξεων καὶ ὑποπτευθεὶς ὅτι ἡ ἀνέγερσις αὐτῶν προεδήλου ἐπαναστατικὴν τῶν Πατμίων ἐπιθυμίαν, διέταξε τὴν σύλληψιν τοῦ κτίτορος Παρθενίου, ὃν καὶ ἰταμῶς καὶ βιαίως ἐβασάνισεν. Ἔθεσεν πεπυρακτωμένον ἀγγεῖον ἐπὶ τῆς τιμίας αὐτοῦ κεφαλῆς, τῆς Χριστὸν ὁμολογούσης, καλάμους αἰχμητοὺς ἐνέπηξεν εἰς τοὺς αὐτοῦ δακτύλους, τοὺς ὀφθαλμοὺς αὐτοῦ ἐξόρυξε καὶ ζέον ἔλαιον ἐπέχυσεν ἐπὶ τῶν πληγῶν αὐτοῦ. Ἀφεθεὶς εἶτα ὁ μακάριος ὑπέκυψεν εἰς τὰ αὐτοῦ τραύματα, μετά τι χρονικὸν διάστημα, τῇ 17ῃ τοῦ μηνὸς Ἰουνίου τοῦ σωτηρίου ἔτους 1629. Πανδήμως ἐτάφη ἐν τῇ ὑπ' αὐτοῦ δομηθείσῃ Μονῇ τῆς Ζωοδόχου Πηγῆς καὶ ὁ τάφος αὐτοῦ πηγὴ ἐγένετο ἰάσεων, ἐξαιρέτως δὲ τῶν πυρεσσόντων, τῶν αὐτῷ μετὰ πίστεως προσιόντων.

**Τ**αῖς αὐτοῦ ἁγίαις πρεσβείαις Χριστὲ ὁ Θεὸς, ἐλέησον καὶ σῶσον ἡμᾶς.